Ακαδημία Αθηνών / Academy of Athens

*δύνηται μήτε ὁρῆν ἐπ' ἔλαττον μήτε ἀκούειν μήτε ὀδμᾶσθαι μήτε γεύεσθαι μήτε ἐν τῇ ψαύσει αἰσθάνεσθαι.*

**σκοτόεις** (συνών. *σκότιος, ζοφερός,* ἀντίθ. *λαμπρός*). Σκοτεινός/πλανερός, obscure/misleading, Ἐμπεδοκλῆς 132.2 *ὄλβιος, ὃς θείων πραπίδων ἐκτήσατο πλοῦτον, δειλὸς δ', ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.*

**σκοτομήνη.** Ἀσέληνη νύχτα, moonless night, Δημόκριτος Α 157 (DK II 127,17) διὸ καὶ *ἐν ταῖς σκοτομήνησιν* ὁρᾷ (sc. γλαύξ) διὰ τὸ πυρῶδες τῶν ὄψεων.

**σκότος** (ἀντίθ. *φῶς*). Σκότος, darkness, Ἐμπεδοκλῆς 121.4 *ἀτερπέα χῶρον, ἔνθα Φόνος τε Κότος τε ... Ἄτης ἂν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν* Πυθαγόρειοι 5 (DK I 452,44) τὰς ἀρχὰς δέκα λέγουσιν εἶναι τὰς κατὰ συστοιχίαν λεγομένας ... *φῶς καὶ σκότος.*

**σμικρότης.** Μικρότης/μικρὸ μέγεθος, smallness/small size, Ἀναξαγόρας 1.2-3 *ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα ... οὐδὲν ἔνδηλον ἦν ὑπὸ σμικρότητος.*

**σοφία** (τύπ. *σοφίη*) **1.** Σοφία/πνευματικὴ ἀξιοσύνη, wisdsom/mental skill, Ξενοφάνης 2.12-14 *ῥώμης γὰρ ἀμείνων ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη ... οὐδὲ δίκαιον προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.* Πρβλ. *ῥώμη* **2.** Σοφία/ὀρθοφροσύνη, wisdom/right-mindedness, Ἡράκλειτος 112 *σωφρονεῖν ἀρετὴ μεγίστη, καὶ σοφίη ἀληθέα λέγειν καὶ ποιεῖν κατὰ φύσιν ἐπαΐοντας* 129 *ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποιήσατο ἑαυτοῦ σοφίην, πολυμαθίην, κακοτεχνίην* Ἀναξαγόρας 21b *ἐμπειρίᾳ δὲ καὶ μνήμῃ καὶ σοφίᾳ καὶ τέχνῃ* Δημόκριτος 31 *ἰατρικὴ μὲν ... σώματος νόσους ἀκέεται, σοφίη δὲ ψυχὴν παθῶν ἀφαιρεῖται* 197 *ἀνοήμονες ῥυσμοῦνται τοῖς τῆς τύχης κέρδεσιν, οἱ δὲ τῶν τοιῶνδε δαήμονες τοῖς τῆς σοφίης* Ἀνάξαρχος 1.4-6 *χρὴ δὲ καιροῦ μέτρα εἰδέναι· σοφίης γὰρ οὗτος ὅρος. οἳ δὲ ἔξω καιροῦ ῥῆσιν ἀείδουσιν, κἢν πεπνυμένην ἀείδωσιν, οὐ τιθέμενοι ἐν σοφίῃ*